www.tezaurliturgic.ro

+

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΝΙΚΑΝΟΡΑ, ΤΟΝ ΘΑΥΜΑΤΟΥΡΓΟΝ,

## κτίτορα τῆς Ἱερᾶς Μονῆς Ζαβόρδης

*(οὗ ἡ μνήμη τῇ ζ΄ Αὐγούστου)*



Ἐποιήθη
ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

* ͵βζ' * 2007 *

www.tezaurliturgic.ro


# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ ΝΙΚΑΝΟΡΑ ΤΟΝ ΖΑΒΟΡΔΗΝΟΝ, ΤΟΝ ΘΑΥΜΑΤΟΥΡΓΟΝ

*Μετὰ τό, Εὐλογητός, ὁ ψαλμὸς ΡΜΒ΄(142)*

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου·

εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου·καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος·καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπεν τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον.

Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου·καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

*Θεὸς Κύριος καὶ τὰ Τροπάρια*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Ἦχος δ΄ Ὁ Ὑψωθείς.*

Ἀσκητικῶς ἐν Καλλιστράτου τῷ ὄρει,
ζήσας, Νικάνορ, τῶν θαυμάτων τὴν χάριν,
ἀπείληφας καὶ ἤγειρας Μονήν σου ἱεράν·
τὴν Μακεδονίαν δὲ κατεφώτισας πᾶσαν,
βίῳ τῷ ἐνθέῳ σου, καὶ σημείοις ποικίλοις,
ὡς μαρτυροῦσιν καὶ Καστοριεῖς,
οἱ ἐξαιρέτως,
τυχόντες σῆς χάριτος.

*Δόξα. Καὶ νῦν Θεοτοκίον, ὅμοιον.*

Οὐ σιωπήσομεν ποτέ, Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι,
εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνωνκ
τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρουςκ
οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ,
σοὺς γὰρ δούλους σῴζεις ἀεί,
ἐκ παντοίων δεινῶν.

*Εἶτα ὁ Ν΄ ψαλμός·*

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστιν διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾿ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

**Εἶτα ὁ κανὼν, οὗ ἡ ἀκροστιχίς:**

*«Καστοριεῖς φύλαττε, πανόσιε Νικάνορ. Ἀ(θανάσιος)».*

*Ὠιδὴ α΄. Ἦχος πλ.δ΄. Ὑγρὰν διοδεύσας.*

Κυρίου τὴν χάριν ἀπὸ παιδός,

πλουτήσας, Νικάνορ,
σκεῦος γέγονας ἱερόν,
θαυμάτων πληροῖς τοὺς χριστωνύμους,
οἳ εὐγνωμόνως τιμῶμέν σε πάντοτε.

Ἀτέκνους πρὶν ὄντας τοὺς σοὺς γονεῖς,
εὐτέκνους Δεσπότης,
ἐναπέδειξε θαυμαστῶς,
σὲ δούς, παμμακάριστε Νικάνορ,
τὸν τῶν ἀτέκνων τὴν στείρωσιν λύοντα.

Σπουδαίως ἠγάπησας τὸν Χριστόν,
Νικάνορ τρισμάκαρ,
ὥσπερ ἄλλος τις Σαμουήλ,
ναοῖς αὐλιζόμενος ἐκ βρέφους,
ὧν τὴν ἀγάπην ἡμῖν δὸς πρεσβείαις σου.

*Θεοτοκίον*

Τὸν Λόγον κυήσασα τοῦ Πατρός,
ἡγίασαι ὅλη,
Θεοτόκε, ὑπερφυῶς·
διὸ καὶ ἡμῖν τοῖς σὲ τιμῶσιν,
ἁγιασμὸν ἀναφαίρετον πάρεχε.

*Ὠιδὴ γ'. Οὐρανίας ἁψῖδος.*

Οὐρανὸν τὴν Μονήν σου,
ἐπὶ τῆς γῆς ἔδειξας,
ἔνθα μοναστῶν αἱ χορεῖαι,
Χριστὸν ἐδόξασαν.
Ὅθεν, τοὺς ὅσοι σε,
ἐπικαλοῦνται, Νικάνορ,
οὐρανοὺς ἀνάδειξον,
Χριστοῦ οἰκήματα.

Ῥυπωθείσας καρδίας,
ἐκ πονηρῶν πράξεων,
κάθαρον, Νικάνορ, παρέχων,
τὴν ἀδιάλειπτον,
καὶ ἁγιάζουσαν,
τοῦ Ἰησοῦ θείαν μνήμην,
ἣν ὡς κτῆμα ἄσυλον,
σὺ κατεπλούτησας.

Ἰατρὸς ἐκ Κυρίου,
Χριστιανοῖς δέδοσαι,
πάθη θεραπεύων καὶ νόσους,
ψυχῆς καὶ σώματος·
ὅθεν προσπίπτομεν,
καὶ ἐξαιτοῦμεν, Νικάνορ,
τάχιστα θεράπευσον,
ποικίλως πάσχοντας.

*Θεοτοκίον*

Ἐν νυκτὶ καὶ ἡμέρᾳ,
ἱκετικῶς κράζομεν,
Πάναγνε, ὡς βρέφη ποιοῦσι,
καὶ σοῦ δεόμεθα·
τροφὴν τὴν μένουσαν,
καὶ σωτηρίαν ποιοῦσαν,
πάρεχε πρεσβείαις σου,
πρὸς τὸν Φιλάνθρωπον.

Διάσωσον,
ἀπὸ παντοίας ἐχθροῦ ἐπηρείας σοὺς δούλους,
ὦ Νικάνορ ὁσίων τὸ καύχημα,
καὶ αἴτησαι παρὰ Χριστοῦ,
αἰτημάτων παντοίων τὴν λύσιν.

Ἐπίβλεψον,


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ἐν εὐμενείᾳ, Πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν,
καὶ ἴασαι,
τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β'. Πρεσβεία θερμή.*

Σωτῆρος Χριστοῦ,
ἐδείχθης οἰκητήριον,
διὸ καὶ Μονήν,
Αὐτῷ σεπτὴν ἀνήγειρας,
ἰατὴρ γενόμενος τοῖς προστρέχουσι τοῖς λειψάνοις σου,
καὶ προσκυνοῦσιν εὐλαβῶς,
Νικάνορ, τὴν εἰκόνα σου.

*Ὠιδὴ δ'. Εἰσακήκοα, Κύριε.*

Ἱερεὺς ἀγγελότροπος,
ὤφθης τῷ Κυρίῳ, Νικάνορ τίμιε·
ὅθεν βίον καθαρότητος,
ἱερεῦσι πάρεχε τιμῶσί σε.

Στύλος ἦσθα, πανόσιε,
ἐν ταῖς προσευχαῖς σου ἀδιατάρακτος,
πρὸ ὀμμάτων ἔχων Κύριον,
Ὃν ἀεὶ ἱλέωσαι τοῖς δούλοις σου.

Φῶς θαβώρειον ἔβλεπες,
ὡς κεκαθαρμένος, Νικάνορ, πάντοτε,
οὗ ἀκτῖνα μίαν πάρεχε,
τοῖς σὲ υἱικῶς ἀεὶ γεραίρουσιν.

*Θεοτοκίον*

Ὑπεράγαθε Δέσποινα,
δέξαι τὰ αἰτήματα τῶν τιμώντων σε,

καὶ Κυρίῳ ταῦτα πρόσφερε,
ἵνα δῷ ἑκάστῳ τὰ συμφέροντα.

*Ὠιδὴ ε΄. Φώτισον ἡμᾶς.*

Λύτρωσαι ἡμῶν,
πόλιν, Πάτερ θεοδόξαστε,
ἀπὸ δεινῶν τοῦ πολεμήτορος ἐχθροῦ,
ὥσπερ τὸ πάλαι,
τοῦ λοιμοῦ ταύτην διέσωσας.

Ἄνισος ἀγών,
ἡμῖν πρόκειται τρισόλβιε,
κατὰ ἀσάρκων πολεμοῦσιν προσβολῶν·
διὸ αἰτοῦμεν,
σήν, Νικάνορ, συναντίληψιν.

Τείχισον ἡμᾶς,
πατρικῇ ἐπιστασίᾳ σου,
θεῖε Νικάνορ, ὡς ἐτείχισας,
Μονὴν Ζαβόρδης,
τοῦ Σωτῆρος οἰκητήριον.

*Θεοτοκίον*

Τραύματα ψυχῶν,
Θεοτόκε, ἡμῶν ἴασαι,
ἡ τὸν σωμάτων καὶ ψυχῶν τὸν Ἰατρόν,
ἀποτεκοῦσα, Ἰησοῦν τὸν πολυέλεον.

*Ὠιδὴ Ϛ΄. Τὴν δέησιν.*

Ἐβόησεν,
ἐν ἡμέρᾳ θλίψεως,
Καστορίας ἡ πληθύς σοι, Νικάνορ,
καὶ παρευθύς,

τοῦ κινδύνου ἐῤῥύσθη,
διὸ ἀείποτε πόθῳ προσπίπτει σοι,
αἰτοῦσα λύσιν τῶν δεινῶν,
μεσιτείᾳ τῇ σῇ πρὸς τὸν Εὔσπλαγχνον.

Πεποίθαμεν,
φιλανθρώποις σπλάγχνοις σου,
καὶ προβάλλομέν σε πρέσβυν, Νικάνορ,
πρὸς τὸν Θεόν,
ὅπως ἔλεος δείξῃ,
ἡμῖν τοῖς ἄμετρα πταίουσιν πάντοτε,
καὶ μὴ εἰς πῦρ τὸ φοβερόν,
ἀποστείλῃ ἡμέρᾳ τῆς Κρίσεως.

Ἀξίωσον,
Θαβωρείου λάμψεως,
τοὺς τιμῶντάς σε, Νικάνορ τρισμάκαρ·
σὺ θεατής,
τῶν ἀῤῥήτων γὰρ ὤφθης,
κατὰ τοὺς πάλαι ὁσίως ἀσκήσαντας,
καὶ νῦν ἀκτίστων δωρεῶν,
ἀπολαύεις οἰκῶν τὸν Παράδεισον.

*Θεοτοκίον*

Νοῦν, Ἄχραντε,
καὶ καρδίας σπήλαια,
Ἰησοῦ ταῖς ἱκεσίαις σου δεῖξον,
ὅσοι θερμῶς,
θεοτόκοι γενέσθαι,
ἐπιποθοῦσιν Κυρίου ἐν χάριτι,
καὶ μέτοχοι παμποθητοῦ,
Παραδείσου γενέσθαι, Πανάμωμε.

Διάσωσον,
ἀπὸ παντοίας ἐχθροῦ ἐπηρείας σοὺς δούλους,

ὦ Νικάνορ ὁσίων τὸ καύχημα,
καὶ αἴτησαι παρὰ Χριστοῦ,
αἰτημάτων παντοίων τὴν λύσιν.

Ἄχραντε,
ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως,
ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον,
ὡς ἔχουσα,
μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β'. Προστασία τῶν Χριστιανῶν.*

Πυρωθεὶς τῇ ἀγάπῃ τοῦ Κτίσαντος,
τὸν σταυρὸν τοῖς σοῖς ὤμοις ἀνείληφας·
ὅθεν πάτερ,
ἁμιλληθέντα πάλαι ἀσκηταῖς,
πολλοῖς θαύμασι Χριστός,
Ὧι ἀφιέρωσας Μονήν,
τὴν ζωὴν σου ἐκόσμησεν.
Ἐν οἷς Καστοριέων,
λύμην φθορᾶς διώξας,
Νικάνορ, δέξαι εὐμενῶς,
τὴν εὐγνώμονα
ἀνύμνησιν.

Προκείμενον. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.
Στίχος. *Τί ἀνταποδώσομεν τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν.*

**ΕΥΑΓΓΕΛΙΟΝ**
*Ἐκ τοῦ κατὰ Ματθαῖον* (11, 27-30)

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς·Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου, καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱὸν εἰ μὴ ὁ Πατήρ, οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει εἰ μὴ ὁ Υἱὸς καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ᾽ ὑμᾶς καὶ μάθετε ἀπ᾽ ἐμοῦ, ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Ὁ γὰρ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

*Δόξα Πατρί.*

Ταῖς τοῦ σοῦ Ὁσίου.

*Καὶ νῦν.*

Ταῖς τῆς Θεοτόκου.

*Εἶτα ψάλλομεν τὸ προσόμοιον.*

Στίχ. *Ἐλέησόν με ὁ Θεός...*

*Ἦχος πλ.β΄. Ὅλην ἀποθέμενοι.*

Ἅπαντα τὸν βίον σου,
ἀνατεθεὶς τῷ Δεσπότῃ,
τῷ Θαβὼρ ἐκλάμψαντι,
τούτῳ ᾠκοδόμησας Μονήν, ὅσιε·
ἄσκησιν δ' ὑπέρλογον,
ἐξασκήσας εὗρες,
τὴν ἀνάπαυσιν τῶν κόπων σου,
Νικάνορ, θαύμασι,
τιμηθεὶς ὡς δοῦλος φιλότιμος.
Τούτων δὲ πλήσας ἅπασαν,
τὴν Μακεδονίαν διέσωσας,
τῶν Καστοριέων,
λαὸν ἀπὸ θανάτου λοιμικοῦ,
ὑπὲρ οὗ πάντοτε πρέσβευε,
τῷ Θεῷ, μακάριε.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Ὠιδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Οἱ ὀχλούμενοι νόσοις,
καὶ προβλήμασι πλείστοις συμπιεζόμενοι,
πρὸς σέ, σεπτὲ Νικάνορ,
προστρέχομεν βοῶντες·
τὸν Δεσπότην ἱκέτευε,
ἵνα ἐπίδῃ ταχύ,
καὶ ἄνεσιν παράσχῃ.

Σὲ εἰδότες ταμεῖον,
εὐσπλαγχνίας ἀκένωτον, πάτερ ὅσιε,
καθικετεύομέν σε·
ἐκ μάστιγος καρκίνου,
τοὺς νοσοῦντας ἐξίασαι,
ὅπως τιμῶμεν ἀεί,
Νικάνορ, τὴν σήν μνήμην.

Ἱερώτατον σκεῦος,
Παρακλήτου ὑπάρχων ἀπὸ συλλήψεως,
φώτισον τὰς κυούσας,
καὶ λύτρωσαι τὰ βρέφη,
ἐκ κινδύνου ἐκτρώσεως,
ἀναδεικνύων αὐτά,
Νικάνορ, θεῖα σκεύη.

*Θεοτοκίον*

Ἐχαρίσθης θεόθεν,
τοῖς ἀνθρώποις μεσῖτις, Παρθένε πάναγνε,
καὶ γὰρ ἐν πάσῃ θλίψει,
εὑρίσκομέν σε σκέπην,
καὶ ἀήττητον πρόμαχον,
ἐξιλεοῦσαν ἡμῖν,
Φιλάνθρωπον Υἱόν σου.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Ὠιδὴ η΄. Τὸν βασιλέα.*

Νίκην ἀρίστην,
κατὰ ἐχθροῦ διαβόλου,
χριστωνύμοις, Νικάνορ, δὸς ταχέως,
ἀγωνιζομένοις,
τηρεῖν Κυρίου νόμον.

Ἱερωσύνης,
κοσμηθεὶς τῷ ποδήρει,
παρεδρεύοντας θυσιαστηρίῳ,
φύλαττε, Νικάνορ,
ἐκ μιασμοῦ παντοίου.

Καστοριεῦσιν,
τὸν ἁγνὸν τοῦ Δεσπότου,
φόβον δίδου, Νικάνορ, ὅπως πάγας,
τοῦ σατὰν νικῶσι,
πρεσβείαις σου ἁγίαις.

*Θεοτοκίον*

Ἁγνὴ Παρθένε,
τοὺς ἁγνεύοντας νέους,
τήρει ὥσπερ Χριστοῦ ναοὺς ἐμψύχους,
ὅπως σὲ ὑμνῶσιν,
τὸ πρότυπον ἁγνείας.

*Ὠιδὴ θ΄. Κυρίως Θεοτόκον.*

Νικάνορ θεῖε πάτερ,
τοὺς προστρέχοντάς σοι,
ἐν ὥρᾳ δίκης ἐσχάτης ἐκλύτρωσαι,
ἐκδυσωπῶν τὸν Σωτῆρα,
ταῖς ἱκεσίαις σου.

Ὁ οἶκος οὗτος, Πάτερ,
ὃν ἀνέθηκέ σοι.
ἡ Καστορία εἰς μνήμην τοῦ θαύματος,
ὡς Σιλωάμ κολυμβήθρα,
ἅπασι γένοιτο.

Ῥεόντων ὑπερόπτα,
καὶ τῆς Βασιλείας,
τῶν οὐρανῶν κληρονόμε ἀξίωσον,
ταύτης τοὺς ὅσοι, Νικάνορ,
σοὶ καταφεύγουσιν.

*Θεοτοκίον*

Ἀπάλλαξον, Παρθένε,
πόλιν Καστορίας,
τὴν σὲ τιμῶσαν ναοῖς ἐπωνύμοις σου,
πάσης ἀνάγκης καὶ νόσου,
καὶ περιστάσεως.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς,
μακαρίζειν σε τὴν Θεοτόκον,
τὴν ἀειμακάριστον καὶ παναμώμητον,
καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν.
Τὴν τιμιωτέραν τῶν Χερουβίμ,
καὶ ἐνδοξοτέραν,
ἀσυγκρίτως τῶν Σεραφίμ,
τὴν ἀδιαφθόρως,
Θεὸν Λόγον τεκοῦσαν,
τὴν ὄντως Θεοτόκον,
σὲ μεγαλύνομεν.

*καὶ τὰ Μεγαλυνάρια*

Χαίροις, ὦ Νικάνορ θαυματουργέ,
τῶν Καστοριέων,

www.tezaurliturgic.ro


πρέσβυς ἔνθερμος πρὸς Θεόν,
οὓς διαφυλάττοις,
ἐκ νόσων καὶ κινδύνων,
καὶ πάσης ἐπηρείας,
τοῦ πολεμήτορος.

Ὥσπερ πάλαι ἔσωσας τὸν λαὸν,
Καστορίας πάτερ,
ἀπὸ νόσου τῆς λοιμικῆς,
οὕτω καὶ νῦν σῶσον,
ἀπὸ τῆς ἁμαρτίας,
Νικάνορ, ἀπειλούσης,
ψυχῶν ἀπώλειαν.

Χαίρετε, Νικάνορ σὺν τῷ Μηνᾷ,
οἱ τῆς Καστορίας,
ἀντιλήπτορες κραταιοί,
δέησιν ποιεῖτε,
ἀπαύστως πρὸς Δεσπότην,
ὅπως ἐκλυτρωθῶμεν,
δεινῆς κολάσεως.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου,
Ἀποστόλων ἡ δωδεκάς,
οἱ Ἅγιοι Πάντες,
μετὰ τῆς Θεοτόκου,
ποιήσατε πρεσβείαν,
εἰς τὸ σωθῆναι ἡμᾶς.

*Εἰς τὴν ἀπόλυσιν ψάλλομεν τὸ παρὸν προσόμοιον.*
*Ἦχος β.' Ὅτε ἐκ τοῦ ξύλου σε.*

Ὥσπερ πάλαι τοὺς Καστοριεῖς,
ἔσωσας λοιμοῦ τοῦ παμφθόρου,
Νικάνορ ὅσιε,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

οὕτω καὶ νῦν λύτρωσαι,
τῆς ἁμαρτίας λοιμοῦ,
ἱκετεύων ἑκάστοτε,
Σωτῆρα Δεσπότην,
Οὗπερ ἀφομοίωμα ἐδείχθης ἔκλαμπρον,
ὅπως ὑγιαίνοντες πάντες,
καὶ κατὰ ψυχὴν καὶ τὸ σῶμα,
δόξαν Αὐτῷ δῶμεν τὴν ἐμπρέπουσαν.

Δέσποινα πρόσδεξαι,
τὰς δεήσεις τῶν δούλων σου,
καὶ λύτρωσαι ἡμᾶς,
ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου,
εἰς σὲ ἀνατίθημι,
Μῆτερ τοῦ Θεοῦ,
φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

*Δι᾽ εὐχῶν.*

* * *

*Στίχοι*

*Νίκας, Νικάνορ, δίδου Καστοριεῦσι,*
*κατ᾽ ἐχθροῦ παλαίουσι κακομηχάνου.*